ΤΑ ΤΟΥ

ΠΙΝΔΑΡΟΥ

ΙΣΘΜΙΑ.

EX EDITIONE OXONIENSI.

GLASGUAE:
EXCUDEBANT R. & A. FOULIS
M.DCC.LVIII.

166 a 31

GR. & IR. BRIT. MUS.

ΤΑ ΤΟΥ

ΠΙΝΔΑΡΟΥ

ΙΣΘΜΙΑ.

Ἔιδος α'.

ΗΡΟΔΟΤΩι ΘΗΒΑΙΩι,

ΑΡΜΑΤΙ.

Σ. α'. Κ. ζ'.

ΜΑΤΕΡ ἐμὰ, τὸ τεὸν, χρύ-
σασπι Θήβα,
Πρᾶγμα ϗ ἀσχολίας ὑπέρτε-
ρον

Θάσομαι. μή μοι κραναὰ νεμε-
σάσαι
Δᾶλος, ἐν ᾇ κέχυμαι. τί φίλτε-
ρον
Κεδνῶν τοκέων ἀγαθοῖς;
Εἶξον ὦ πολλωνιάς. ἀμφοτέρων
τοι χαρίτων
Σὺν θεοῖς ζεύξω τέλος·

Α. α'. Κ. ζ'.

Καὶ τὸν ἀκειρεκόμαν Φοῖβον
χορεύων
Ἐν Κέῳ ἀμφιρύτῳ σὺν ποντίοις
Ἀνδράσιν, ᾗ τὰν ἀλιερκέα Ἰσθ-
μῷ

Δειράδ'. ἐπεὶ στεφάνους ἐξ ὤπασε
Κάδμου σταλῶ ἐξ ἀέθλων,
Καλλίνικον πατρίδι κῦδος. ἐν ᾧ
χ τὸν ἀδεί-
μαντον Ἀλκμήνα τέκε

Ε. α'. Κ. ια'.

Παῖδα, θρασεῖαι τόν ποτε Γη-
ρυόνα
Φρίξαν κύνες.
Ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων
Τὸ μὲν ἅρμαλι τεθρίππῳ γέρας,
Ἀνία τ' ἀλλοτρίαις ὐ
Χερσὶ νωμάσανθ', ἑθέλω
Ἢ Καστορείῳ ἢ Ἰολάου ἐναρ-

μόξαι μιν ὕμνῳ.
Κεῖνοι γὰρ ἥρώων διφρη-
λάται Λακεδαίμονι χὴ Θή-
βαις ἐτέκνωθεν κράτισοι

Σ. Ϛ'. Κ. ζ'.

Ἐν τ' ἀέθλοισι θίγον πλείσων ἀ-
γώνων
Καὶ τριπόδεσσιν ἐκόσμησαν δό-
μον,
Καὶ λεβήτεσσιν, φιάλαισί τε
χρυσῷ
Γευόμενοι στεφάνων νικαφόρων.
Λάμπει δὲ σαφὴς ἀρετὰ
Ἔν τε γυμνοῖσι σταδίοις σφίσιν,
ἔν τ' ἀσπιδοδύ-

ποισιν ὁπλίταις δρόμοις.

Α. Ϛ'. Κ. ζ'.

Οἷά τε χερσὶν, ἀκονλίζονλες αἰχμαῖς,
Καὶ λιθίνοις ὁπόλε δίσκοις ἷεν!
Οὐ γὰρ ἦν πένταθλον ἔτ'· ἀλλ' ἐφ' ἑκάςῳ
Ἔργμαλι κεῖτο τέλος. τῶν ἀθρόοις
Ἀνδησάμενοι θαμάχις
Ἔρνεσιν χαίτας, ῥεέθροισί τε
Δίρκας ἔφανεν,
Καὶ παρ' Εὐρώλα πέλας,

Ε. Ϛ'. Κ. ια'.

Ἰφικλέος μὲν παῖς, ὁμόδαμος ἐὼν
Σπαρτῶν γένει,
Τυνδαρίδας δ', ἐν Ἀχαιοῖς ὑ-
ψίπεδον Θεράπνας οἰκέων ἕδος.
Χαίρετ'. ἐγὼ δὲ Ποσειδάωνι, Ἰσθμῷ τε ζαθέᾳ,
Ὀγχηστίαισίν τ' αἰόνεσσιν περισέλλων ἀοιδάν,
Γαθύσομαι τῶδ' ἀνδρὸς ἐν
Τιμαῖσιν ἀγακλέα τὰν Ἀ-
γησιδάμου πατρὸς αἶσαν,

Σ. γ'. Κ. ζ'.

Ὀρχομενοῖό τε παλρῴαν ἄρουραν·
Ἃ νιν ἐρειδόμενον ναυαγίαις
Ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοίσσᾳ
Δέξατο συντυχίᾳ. νῦν δ' αὖτις ἀρ-
χαίᾳς ἐπέβασε πότμος
Συγγενὴς εὐαμερίας. ὁ πονήσας δὲ, νόῳ
Καὶ προμάθειαν φέρει.

Α. γ'. Κ. ζ'.

Εἰ δ' ἀρεταὶ καταίχμαι πᾶσαν ὀργὰν

Ἀμφότερον δαπάναις τε καὶ πό-
νοις
Χρή νιν εὑρόντεσσιν ἀγάνορα
κόμπον
Μὴ φθονεραῖσι φέρειν γνώμαις.
ἐπεὶ
Κύφα δόσις ἀνδρὶ σοφῷ,
Ἀντὶ μόχθων παντοδαπῶν ἔπος
εἰπόντ' ἀγαθὸν,
Ξυνὸν ὀρθῶσαι καλόν.

Ε. γ'. Κ. ια'.

Μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ'
ἔργμασιν ἀν-
θρώποις γλυκύς,

Μηλοβόλᾳ τ', ἀρότᾳ τ', ὀρνι-
χολόχῳ τε, ᾧ ὄν πόνος τρέφει.
Γαστρὶ δὲ πᾶς τις ἀμύνων
Λιμὸν αἰανῆ τέταλαι.
Ὅς δ' ἀμφ' ἀέθλοις, ἢ πολεμίζων,
ἄρη-
ται κῦδος ἀβρὸν,
Εὖ ἀγορηθεὶς κέρδος ὕ-
ψιστον δέχεται, πολιατᾶν
Καὶ ξένων γλώσσας ἄωτον.

Σ. δ'. Κ. ζ'.

Ἄμμι δ' ἔοικε Κρόνῳ σεισίχθων'
υἱὸν
Γέιτον' ἀμειβομένοις, εὐεργίταν

Ἁρμάτων ἱπποδρόμιον κελαδῆ-
σαι,
Καὶ σέθεν Ἀμφιτρύων παῖδας
προσει-
πεῖν, τὸν Μινύα τε μυχὸν,
Καὶ τὸ Δάμαλρος κλυτὸν ἄλσος
Ἐλευσῖνα χ' Εὔ-
βοιαν ἐν γναμπτοῖς δρόμοις.

Α. δ'. Κ. ζ'.

Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν
Ἀχαιῶν
Ἐν Φυλάκᾳ τέμενος συμβάλ-
λομαι.

Πάντα δ' ἐξεπεῖν, ὅσ' ἀγώνιος
Ἑρμᾶς
Ἡροδότῳ ἔπορεν ἵπποις, ἀραι-
ρεῖται βραχὺ μέτρον ἔχων
Ὕμνος. ἢ μὰν πολλάκι χ τὸ σε-
σωπαμένον, εὐ-
θυμίαν μείζω φέρει.

Ε. δ'. Κ. ια'.

Εἴη μιν εὐφώνων πτερύγεσσιν
ἀερ-
θέντ' ἀγλααῖς
Πιερίδων, ἔτι χ Πυθό-
θεν, Ὀλυμπιάδων τ' ἐξαιρέτοις
Ἀλφεῦ ἔρνεσι φράξαι

Χεῖρα, τιμὰν ἑπταπώλοις
Θήβαισι τεύχοντ'. εἰ δέ τις ἔν-
δον νέμει
Πλοῦτον κρυφαῖον,
Ἄλλοισι δ' ἐμπίπλων γελᾷ,
Ψυχὰν Ἀΐδᾳ τελέων ἀ
Φράζεται, δόξας ἄνευθεν.

Ὠδὴ β'.

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι.

Σ. α'. Κ. η'.

Οἱ μὲν πάλαι, ὦ Θρασύβυλε,
Φῶτες, οἱ χρυσαμπύκων
Ἐς δίφρον Μοισᾶν ἔβαινον,
Κλυτᾷ φόρμιγγι συναντόμενοι,
Ῥίμφα παιδείως ἐτόξευον μελιχάρυας ὕμνους,
Ὅς τις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
Εὐθρόνῳ μνάσειραν ἀδίσαν ὠπώραν.

Α. α'. Κ. η'.

Ἀ Μοῖσα γὰρ ὐ φιλοκιρδὴς
Πω τότ' ἦν, ὐδ' ἐργάτις.
Οὐδ' ἐπέρνανλο γλυκᾶαι
Μελίφθογγοι ποτὶ Τερψιχόρας,
Ἀργυρωθᾶσαι πρόσωπα,
Μαλθακόφωνοι ἀοιδαί.
Νῦν ἐφίηλι δὲ τ' Ὠργείω φυλάξαι
Ῥῆμα, τῆς ἀληθείας ἄγχιστα
βαῖνον,

Ε. α'. Κ. ζ'.

Χρήμαΐα, χρήματ' ἀνήρ.
Ὅς φᾶ, κτιάνων θ' ἅμα λῶρθε φίλων.

Ἐσσὶ γὰρ ὢν σοφὸς, ἐκ ἀγνῶτ'
ἀείδω
Ἰσθμίαν ἵπποισι νίκαν,
Τὰν Ξενοκράτει Ποσειδάων ὀπά-
σαις,
Δωρίων αὐτῷ στεφάνωμα κόμαν
Πέμπειν ἀναδεῖσθαι σελίνων,

Σ. 6'. Κ. η'.

Εὐάρμαλον ἄνδρα γεραίρων,
Ἀκραγαντίνων φάος.
Ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶ-
δ' Ἀπόλλων μιν, πόρε τ' ἀγλαΐ-
αν·
Καὶ τόθι κλεινᾶις Ἐρεχθει-

ἐᾶν χαρίτεσσιν ἀραρὼς
Ταῖς λιπαραῖς ἐν Ἀθάναις, ὐχ
ἐμέμφθη
Ῥυσίδιφρον χεῖρας πλαξίπποιο
φωτὸς,

Α. Θ. Κ. η'.

Τὰν Νικόμαχος καλὰ καιρὸν
Νῶμε πάσαις ἀνίαις·
Ὄν τε χ' κάρυκες ὡρᾶν
Ἀνέγνων, σπονδοφόροι Κρονίδα
Ζηνὸς Ἀλείᾳ, παθόντες
Πώ τι φιλόξενον ἔργον·
Ἀδυπνόῳ τέ νιν ἀσπάζονθο φωνᾷ,
Χρυσέας ἐν γυίνασιν πιτνῶντα
Νίκας

Ε. 6'. Κ. ζ'.

Γαῖαν ἀνὰ σφετέραν,
Τὰν δὴ καλέοισιν Ὀλυμπίᾳ Διὸς
Ἄλσος· ἵν' ἀθανάτοις Αἰνησιδάμου
Παῖδες ἐν τιμαῖς ἔμιχθεν.
Καὶ γὰρ ὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι
Οὔτε κώμων, ὦ Θρασύβυλ', ἐρατῶν,
Οὔτε μελικόμπων ἀοιδᾶν.

Σ. γ'. Κ. η'.

Οὐ γὰρ πάγος, ὐδὲ προσάντης

Ἀ κέλευθος γίνεται,
Εἴ τις εὐδόξων ἐς ἀνδρῶν
Ἄγοι τιμὰς Ἑλικωνιάδων.
Μακρὰ δισκήσαις ἀκοντί-
σαιμι τοσῦθ', ὅσον ὀργὰν
Ξεινοκραίης ὑπὲρ ἀνθρώπων γλυ-
κεῖαν
Ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁ
μιλεῖν,

Α. γ'. Κ. η'.

Ἱπποτροφίας τὲ νομίζων
Ἐν πανελλάνων νόμῳ
Καὶ θεῶν δαίτας προσέπλυ-
νὸπασας· ὐδέποτε ξενίαν

Οὖρος ἐμπνεύσαις ὑπέσει-
λ' ἰσίον ἀμφὶ τράπεζαν·
Ἄλλ' ἐπέρα, ποτὶ μὲν Φᾶσιν θε-
ρείαις,
Ἐν δὲ χειμῶνι Νάϊλῳ πρὸς ἀκ-
τάς.

Ε. γ'. Κ. ζ'.

Μή νυν, ὅτι φθονεραὶ
Θναλῶν φρένας ἀμφικρέμανται
ἐλπίδες,
Μήτ' ἀρετάν ποτε σιγάτω πα-
τρῴαν,
Μηδὲ τόσδ' ὕμνος· ἐπεί τοι

Οὐκ ἐλινύσσονλας αὐτὸς εἰργα-
σάμην.
Ταῦτα Νικάσιππ' ἀπόνειμον
ὅταν
Κῶμον ἐμὸν ἡθαῖον ἔλθῃς.

Ὠδος γ'.

ΜΕΛΙΣΣΩι ΘΗΒΑΙΩι ΙΠΠΟΙΣ.

Σ. α'. Κ. ι'.

Εἴ τις ἀνδρῶν εὐτυχήσαις,
Ἢ σὺν εὐδόξοις ἀέθλοις,
Ἢ σθένει πλώτῳ, κατέχει
Φρασὶν αἰανῆ χόρον,
Ἄξιος εὐλογίαις ἀσῶν μεμίχθαι.
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θναλοῖς ἔπονται
Ἔκ σέθεν. ζώει δὲ μάσσων

Ὄλβος ὀπιζομένων· πλαγίαις
Δὲ φρένεσσιν οὐχ ὁμῶς πάν-
τα χρόνον θάλλων ὁμιλεῖ.

Α. α'. Κ. ι'.

Εὐκλεέων δ' ἔργων ἄποινα,
Χρὴ μὲν ὑμνᾶσαι τὸν ἐσλόν.
Χρὴ δὲ κωμάζοντ' ἀγαναῖς
Χαρίτεσσι βασάσαι.
Ἔσι δὲ καὶ διδύμων ἀέθλων Με-
λίσσῳ
Μοῖρα, πρὸς εὐφροσύναν τρέψαι
γλυκεῖαν
Ἥτορ, ἐν βάσσαισιν Ἰσθμοῦ
Δεξαμένῳ στεφάνους, τὰ δὲ κοί-

λᾳ λέοντος ἐν βαθυστέρνῳ νάπᾳ, κάρυξε Θήβαν

Ε. α'. Κ. ια'.

Ἱπποδρομίᾳ κρατέων.
Ἀνδρῶν δ' ἀρετὰν
Σύμφυτον ὐ κατελέγχει.
Ἴστε μὰν Κλεωνύμου
Δόξαν παλαιὰν ἅρμασι·
Καὶ ματρόθεν Λαβδακίδαισι
Σύννομοι, πλύτῳ διέσ-
χον τετραορίαν πόνοις.
Αἰὼν δὲ κυλινδομέναις
Ἀμέραις ἄλλ' ἄλλοτ' ἐξ-
άλλαξεν. ἄτρωτοί γε μὰν παῖδες
θεῶν.

ᾠδὸς δ'.

ΤΩι ΑΤΤΩι ΜΕΛΙΣΣΩι,

Σ. α'. Κ. ι'.

Ἔστί μοι θεῶν ἕκαλι,
Μυρία πανλᾶ κέλευθος
Ὦ Μέλισσ'. εὐμενχανίαν
Γὰρ ἴφανες Ἰσθμίοις,
Ὑμετέρας ἀρεταὶς ὕμνῳ διώκειν
Αἴσι Κλεωνυμίδαι θάλλοντες
αἰεὶ
Σὺν θεῷ, θνατὸν διέρχονται τὸ βίω τέλος. ἄλλοθι δ' ἀλλοῖος ὕρος πάνλας ἀνθρώ-

πυς ἐπαΐσσων ἐλαύνει.

Α. α'. Κ. ι'.

Τοὶ μὲν ὧν Θήβαισι τιμά-
ενλες ἀρχᾶθεν λέγονλαι,
Πρόξενοί τ' Ἀμφικτυόνων
Κελαδεννᾶς τ' ἀρφανοὶ
Ὕβριος. ὅσσα δ' ἐπ' ἀνθρώπυς
ἄπλάι
Μαρτύρια φθιμένων τε φωτῶν
Ἀπλέτῳ δόξας, ἐπέψαυ-
σαν καλὰ πᾶν τέλος. ἀνορέαις
Δ', ἐσχάταισιν οἴκοθον σά-
λαισιν ἅπτονθ' Ἡρακλείαις.

Ε. α'. Κ. ια'.

Καὶ μηκέτι μακροτέραν
Σπεύδειν ἀρετάν.
Ἱπποτρόφοι τ' ἐγένοντο,
Χαλκέῳ τ' Ἄρει ἄδον.
Ἀλλ' ἀμέρᾳ γὰρ ἐν μιᾷ,
Τραχεῖα νιφὰς πολέμοιο
Τεσσάρων ἀνδρῶν ἐρήμα-
σεν μάκαιραν ἑστίαν.
Νῦν δ' αὖ μελὰ χειμέριον
Παικίλων μηνῶν ζόφον,
Χθὼν ἅτε, φοινικίοισιν ἄνθησαν
ῥόδοις

Σ. Θ'. Κ. ι'.

Δαιμόνων βυλαῖς. ὁ κινη-
τὴρ δὲ γᾶς, Ὀγχηστὸν οἰκέων,
Καὶ γέφυραν ποντιάδα
Πρὸ Κορίνθυ τειχέων,
Τόνδε πορὼν γενεᾷ θαυμαστὸν
ὕμνον,
Ἐκ λεχέων ἀνάγει φάμαν πα-
λαιὰν
Εὐκλεῶν ἔργων. ἐν ὕπνῳ
Γὰρ πέσεν. ἀλλ' ἀνεγειρομένα,
Χρῶτα λάμπει, ἀωσφόρος θα-
νὸς ὡς ἄστροις ἐν ἄλλοις.

Α. 6'. Κ. ι'.

Ἄτε κ' εἰν γυνοῖς Ἀθηνᾶν
Ἄρμα κηρύξαισα νικᾶν,
Ἐν τ' Ἀδρασείοις ἀέθλοις
Σικυῶνος, ὥπασεν
Τοιάδε τῶν τότ' ἐόντων φύλλ'
ἀοιδᾶν.
Οὐδὲ παναγυρίων ξυνᾶν ἀπέ-
χον
Καμπύλον δίφρον· πανελλά-
νεσσι δ' ἐριζόμενοι, δαπάνᾳ
Χαῖρον ἵππων. τῶν ἀπειρά-
των γὰρ ἄγνωσοι σιωπαί.

Ε. 6'. Κ. ια'.

Ἔστιν δ' ἀφάνεια τύχας
Καὶ μαρναμένων,
Πρὶν τέλος ἄκρον ἱκέσθαι.
Τῶνδε γὰρ διδοῖ τέλος.
Καὶ κρέσσον' ἀνδρῶν χερόνων
Ἔσφαλλε τέχνα καταμάρψαι-
σ'. ἶσε μὲν Αἰάντος ἀλκὰν
Φοίνιον, τὰν ὀψίᾳ
Ἐν νυκλὶ ταμὼν περὶ ᾧ
Φασγάνῳ, μομφὰν ἔχει
Παίδεσσιν Ἑλλάνων, ὅσοι Τρῳ-
ανδ' ἵξαν.

Σ. γ'. Κ. ι'.

Ἀλλ' Ὁμηρός τοι τετίμακε δι' ἀνθρώπων, ὃς αὐτῷ
Πᾶσαν ὀρθώσαις ἀρετὰν,
Καλὰ ῥάβδον ἔφρασεν
Θεσπεσίων ἐπέων, λοιποῖς ἀθύρειν.
Τῦλο γὰρ ἀθάναλον φωνᾶεν ἕρπει,
Εἴ τις εὖ εἴπῃ τι καὶ πάγκαρπον ἐπὶ χθόνα, ᾧ διὰ πόντον βέβακεν ἐργμάτων ἀμπὶς καλῶν ἄσβεσος αἰεί.

Α. γ'. Κ. ι'.

Προφρόνων Μοισᾶν τύχοιμεν,

Κῶον ἄψαι πυρσὸν ὕμνων
Καὶ Μελίσσῳ, παγκρατίῳ
Στεφάνωμ' ἐπάξιον,
Ἕρνει Τελεσιάδα. τόλμα γὰρ
εἰκὼς
Θυμὸν ἐριβρεμέταν θηρᾶν λεόντων
Ἐν πόνῳ· μῆτιν δ', ἀλώπηξ,
Λίετῦ ἄτ' ἀναπτυναμένα
Ῥόμβον ἴσχει. χρὴ δὲ πᾶν ἔρ-
δοντ', ἀμαυρῶσαι τὸν ἐχθρόν.

Ε. γ'. Κ. ια'.

Οὐ γὰρ φύσιν Ὡαριω-
νάαν ἔλαχεν·
Ἀλλ' ὀνοῖς μὲν ἰδέσθαι,

Συμπεσεῖν δ' αἰχμᾷ βαρύς.
Καί τοι ποτ' Ἀνταίου δόμους
Θηβᾶν ἀπὸ Καδμηΐαν, μορ-
φὰν βραχὺς, ψυχὰν δ' ἄκαμπ-
τος,
Προσπαλαίσων ἦλθ' ἀνὴρ
Τὰν πυροφόρον Λιβύαν,
Κρανίοις ὅρκα ξένων
Ναὸν Ποσειδάωνος ἐρέφοντα σχέ-
θοι,

Σ. δ'. Κ. ι'.

Τίὸς Ἀλκμήνας. ὃς Οὐλύμ-
πονδ' ἔβα· γαίας τε πάσας,
Καὶ βαθυκρήμνω πολιᾶς

Ἅλλος ἐξευρὼν θέναρ,
Ναυτιλίαισί τε πορθμὸν ἀμερώ-
σαις.
Νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον
ὄλβον
Ἀμφέπων ναίει, τετίμα-
ταί τε πρὸς ἀθανάτων φίλος, Ἥ-
βαν τ' ὀπυίει, χρυσέων οἴ-
νων ἄναξ, ϗ γαμβρὸς Ἥρας.

Α. δ'. Κ. ί.

Τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν
Δαῖτα πορσύνουσιν ἀστοὶ,
Καὶ νεόδμαλα στεφανώ-
ματα βωμῶν, αὔξομεν

Ἔμπυρα χαλκοαρᾶν ἀχλὼ Σα[illegible]
νόνλων,
Τὰς Μεγάρα τέκεν οἱ Κρεοντί[illegible]
υἱὰς,
Τοῖσιν ἐν δυσμαῖσιν αὐγᾶν
Φλὸξ ἀνατελλομένα συνεχὲς
Πανυχίζει, αἰθέρα κνι-
σᾶνλι λακτίζοισα καπνῷ·

Ε. δ'. Κ. ια'.

Καὶ δεύτερον ἅμαρ ἐτέ-
ων ἀέθλων τέρμα
Γίνεται, ἰσχύος ἔργον.
Ἔνθα λευκωθεὶς κάρα
Μύρτοις ὅδ' ἀνὴρ, διπλόαν

ίκαν ἀνεφάναλο, παίδων
τὴν τρίταν πρόσθεν, κυβερνα-
τῆρος οἰακοστρόφω
γνώμᾳ πεπιθὼν πολυβώ-
λω. σὺν Ὀρσίᾳ δέ νιν
κωμάζομαι, τερπνὰν ἀποσάζων
χάριν.

Εἶδος ε'.

ΦΤΛΑΚΙΔΑι ΑΙΓΙΝΗΤΗι, ΠΑΓΚΡΑΤΙΩι.

Σ. α'. Κ. η'.

ΜΑτερ Ἀλίᾳ πολυώνυμε Θεία,
Σέο γ' ἕκαλι, χ μεγασθενῆ
νόμισαν
Χρυσὸν ἄνθρωποι περιώσιον ἄλ-
λων.
Καὶ γὰρ ἐριζόμεναι
Νᾶες ἐν πόντῳ, καὶ ἐν ἅρμασιν
ἵπποι,
Διὰ τεὰν ὦ νασσα τιμάν,

Ὠκυδινάτοις ἐν ἀμίλ-
λαισι θαυμασαὶ πέλονται·

Α. α'. Κ. η'.

Ἐν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν
Κλέος ἔπραξεν, ὅν τιν' ἀθρόοι στέ-
φανοι,
Χερσὶ νικάσαντ', ἀνέδησαν ἔθει-
ραν,
Ἢ ταχυτᾶτι ποδῶν.
Κρίνεται δ' ἀλκὰ διὰ δαίμονας
ἀνδρῶν.
Δύο δέ τοι ζωᾶς ἄωλον
Μῶνα ποιμαίνονλι τὸν ἄλ-
πνισον εὐανθεῖ σὺν ὄλβῳ,

Ε. α'. Κ. ια'.

Εἴ τις εὖ πάσχων, λόγον ἐσλὸν
ἀκούῃ.
Μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ'
ἔχεις,
Εἴ σε τύτων μοῖρ' ἐφίκοιτο κα-
λῶν.
Θναλὰ θνατοῖσι πρέπει.
Τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλ-
λοισ' ἀρεταὶ
Φυλακίδα κεῖται· Νεμέᾳ δὲ, χὠ
ἀμφοῖν,
Πυθέα τε, παγκρατίῳ. τὸ δ' ἐ-
μὸν.

Οὐκ ἄτερ Αἰακιδᾶν
Κέαρ ὕμνων γεύεται.
Σὺν χάρισιν δ' ἔμολον
Λάμπωνος υἱοῖς,

Σ. Ϛ'. Κ. η'.

Τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέ-
τραπται
Θεοδότων ἔργων κέλευθον ἂν κα-
θαρὰν,
Μὴ φθόνει κόμπον τὸν ἐοικότ', ἀοιδᾷ
Κιρνάμεν ἀντὶ πόνων.
Καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμι-
σταὶ

Λόγον ἐκέρδανον· κλέονλαι
Δ' ἔν τε φορμίγγεσσιν, ἐν αὐ-
λῶν τε παμφώνοις ὁμοκλαῖς

Α. Ϛ'. Κ. η'.

Μυρίον χρόνον· μελέταν δὲ σο-
φισαῖς
Διὸς ἔκαλι πρόσβαλλον σεβιζό-
μενοι.
Ἐν μὲν Αἰτωλῶν θυσίαισι φαεν-
ναῖς,
Οἰνεΐδαι κρατεροί·
Ἐν δὲ Θήβαις, ἱπποσόας Ἰόλαος
Γέρας ἔχει· Περσεὺς δ' ἐν Ἄργει·
Κάστορος δ' αἰχμὰ Πολυδεύ-

κιός τ' ἐπ' Εὐρώτα ῥεέθροις.

Ε. Ϛ'. Κ. ια'.

Ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ
Αἰακῦ, παίδων τε. τοὶ καὶ σὺν μάχαις
Διὸς πόλιν Τρῳῶν πράθον, ἑσπόμενοι
Ἡρακλῆϊ πρότερον,
Καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν.
Λέγε, τίνες Κύκνον, τίνες Ἔκλορα πέφνον,
Καὶ στράταρχον Αἰθιόπων ἄρεζαν

Μέμνονα χαλκοάραν;
Τίς ἄρ' ἰσλὸν Τήλεφον
Τρῶσεν ἐῷ δορὶ Κα-
ΐκω παρ' ὄχθαις;

Σ. γ'. Κ. ν'.

Τοῖσιν Αἴγιναν προφέρει σόμα
πάτραν
Διαπρεπέα νᾶσον. τετείχισαι
δὲ πάλαι
Πύργος ὑψηλαῖς ἀρεταῖς ἀνα-
βαίνειν.
Πολλὰ μὲν ἀρτιεπὴς
Γλῶσσά μοι τοξεύματ' ἔχει περὶ
κύκλων

κελαδῆσαι· χ νῦν ἐν ἄρᾳ
μαρτυρήσαι κεν πόλις Αἰ-
ακίδαις, ὀρθωθεῖσα ναύταις

Α. γ'. Κ. η'.

Ἐν πολυφθόρῳ, Σαλαμὶς, Διὸς
ὄμβρῳ,
ἀναρίθμων ἀνδρῶν χαλαζάεντι
φόνῳ
ἀλλ' ὅμως καύχημα κατάβρι-
χε σιγᾷ.
Ζεὺς τάδε χ τὰ νέμει,
Ζεὺς, ὁ πάντων κύριος. ἐν δ' ἐρα-
τεινῷ
μέλιτι, χ τοιαίδε τιμαὶ

Καλλίνικον χάρμ' ἀγαπάζονλι. μαρνάσθω τις ἔρδων,

Ε. γ'. Κ. ια'.

Ἀμφ' ἀέθλοισιν, γενεὰν Κλεονίκω
Ἐκμαθών. ὔ τοι τετύφλωται μακρὸς
Μόχθος ἀνδρῶν· ὑδ' ὁπόσαι δαπάναι
Ἐλπίδων, ἔκνισ' ὄπιν.
Αἰνέω χ' Πυθέαν ἐν γυιοδάμαις,
Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι.
Χερσὶ δεξιὸν, νόῳ ἀντίπαλον.
Λάμβανέ οἱ στέφανον·

φέρε δ' εὔμαλλον μίτραν·
καὶ πλεκτάνια νέον
σύμπεμψον ὕμνον.

Ὠδὴ ε'.

ΦΥΛΑΚΙΔΑΙ ΠΥΘΕΑΙ; ΕΥΘΥΜΕΝΕΙ ΜΑΤΡΩΙ.

Σ. α'. Κ. ιγ'.

Θαλλονίος ἀνδρῶν ὡς ὅτε συμποσίῳ
Δεύτερον κρατῆρα μοίσεών μελέων
Κίρναμεν, Λάμπωνος εὐάθλῳ γενεᾶς ὕπερ. ἐν Νεμέᾳ
Μὲν πρῶτον ὦ Ζεῦ τὶν, ἄωτον
Δεξάμενοι στεφάνων.
Νῦν αὖτ' ἐν' Ἰσθμῷ, δεσπότᾳ

Νηρηΐδεσσί τε πεντή-
κοντα, παίδων ὁπλοτάτῳ
Φυλακίδα νικῶντος. εἴη δὲ τρί-
τον
Σωτῆρι πορσαίνοντας Ὀλυμ-
πίῳ, Αἴγιναν καλα-
σπένδειν μελιφθόγγοις ἀοιδαῖς.

Α. α'. Κ. ιγ'.

Εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε
χαρεὶς
Καὶ πόνῳ, πράσσει θεοδμάτους
ἀρετάς,
Σὺν τέ οἱ δαίμων φυτεύει
Δόξαν ἐπήρατον, ἐσχατιαῖς

Ἤδη πρὸς ὅλβῳ βάλλετ' ἄγκυ-
ραν θεότιμος ἰών.
Τοίαισιν ὀργαῖς εὔχεται
Ἀντιάσαις αἰδὰν γῆ-
ράς τε δέξασθαι πολιὸν
Ὁ Κλεονίκου παῖς. ἐγὼ δ' ὑψί-
θρονον
Κλωθὼ κασιγνήτας τε προσεν-
γέπω, σπέσθαι κλυταῖσιν
Ἀνδρὸς φίλου Μοίρας ἑφετμαῖς.

Ε. α'. Κ. ια'.

Τιμά τ' ὦ χρυσάρματοι Αἰα-
κίδαι,

Τέθμιόν μοι φαμὶ σαφέσταλον εἶναι,
Τάνδ' ἐπισκήψαντα νᾶσον,
Γαινέμεν εὐλογίαις.
Μυρίαι δ' ἔργων καλῶν
Τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ
κέλευθοι,
Καὶ πέραν Νέιλοιο παγᾶν,
Καὶ δι' Ὑπερβορέους. οὐδ' ἔστιν
ὅτῳ
Βάρβαρος, ὅτε παλίγγλωσσος
πόλις,
Ἄτις ὁ Πηλέος αὖθι κλέος
Ἥρωος, εὐδαίμονος γαμβρῷ θεῶν

Σ. ϛ'. Κ. ιγ'.

Οὐδ' ἄτις Αἴανλος Τελαμωνιάδα
Καὶ πατρὸς τὸν χαλκοχάρμαν
ἐς πόλεμον
Ἄγε σὺν Τιρυνθίοισι
Πρόφρονα σύμμαχον ἐς Τροίαν,
Ἥρωσι μόχθον, Λαομεδοντίαν ὑπὲρ ἀμπλακίαν,
Ἐν ναυσὶν Ἀλκμήνας τέκος.
Εἷλε δὲ Περγαμίαν· πέφνεν δὲ σὺν κείνῳ Μερόπων
Τ' ἔθνεα, καὶ τὸν βυβόταν, οὖρεϊ ἴσον,
Φλέγραισιν εὐρὼν Ἀλκυονῆ.

Σφετέρας δ' ὑ φείσαλο
Χερσὶν βαρυφθόγγοιο νευρᾶς

Α. C'. Κ. ιγ'.

Ἡρακλέης. ἀλλ' Αἰακίδαν καλέων
Ἐς πλόον, κήρυξε πάντων δαινυμένων.
Τὸν μὲν ἐν ῥινῷ λέοντος
Στάνλα κελήσαλο νεκταρέαις
Σπονδαῖσιν ἄρξαι καρτεραίχμαν
Ἀμφιτρυωνιάδαν·
Ἄνδωκε δ' αὐτῷ φέρταλος
Οἰνοδόκον φιάλαν χρυ-

σῷ πεφρικυῖαν Τελαμών.
Ὁ δ' ἀντείνας ὑρανῷ χεῖρας ἀ
μάχυς,
Αὔδασε τοιῶτόν τ' ἔπος· εἰ
Ποτ' ἰμάν, ὦ Ζεῦ πάτερ,
Θυμῷ θέλων ἀρὰν ἄκυτας,

Ε. Ϛ'. Κ. ια'.

Νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπε-
σίαις
Λίσσομαι, παῖδα θρασὺν ἐξ Ἐ
ριβοίας
Ἀνδρὶ τῷδε, ξεῖνον ἀμόν,
Μοιρίδιον τελέσαι·
Τὸν μὲν ἀρβήκλον φυὰν

Ὥσπερ τόδε δέρμα μὲ νῦν πε-
ριπλανᾶται
Θηρὸς, ὃν πάμπρωτον ἀέθλων
Κτεῖνά ποτ' ἐν Νεμέᾳ. θυμὸς δ'
ἐπέσθω.
Ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν
θεὸς
Ἀρχὸν οἰωνῶν μέγαν αἰετόν.
Ἁδεῖα δ' ἔνδον μιν ἔκνιξεν χάρις.

Σ. γ'. Κ. ιγ'.

Εἶπέν τε, φωνήσαις ἅτε μάντις
ἀνήρ·
Ἔστειλαί τοι παῖς ὃν αἰτεῖς, ὦ
Τελαμών.

Καί νιν ὄρνιχος φανέντος
Κέκλετ' ἐπώνυμον εὐρυβίαν
Αἴανλα, λαῶν ἐν πόνοις ἔκ-
παγλον Ἐνυαλίῳ.
Ὡς ἄρα εἰπών, αὐτίκα
Ἔζετ'. ἐμοὶ δὲ μακρὸν πά-
σας ἀγήσασθαι ἀρετάς.
Φυλακίδᾳ γὰρ ἦλθον Μοῖσα-
ταμίας
Πυθέᾳ τε κώμων, Εὐθυμένει
τε. τὸν Ἀργέων τρόπον
Εἰρήσεσθαί πω κ' ἐν βραχίσοις.

Α. γ'. Κ. ιγ'.

Ἀρανίο γὰρ νίκας ἀπὸ παγκρα-
τίου,

τρεῖς ἀπ' Ἰσθμῦ, τὰς δ' ἀπ'
εὐφύλλυ Νεμέας,
Ἀγλαοὶ παῖδές τε χ' μά-
τρωες. ἄν δ' ἄγαγον ἐς φάος οἵ-
αν μοῖρανὕμνων! τὰν Ψαλυχια-
δᾶν δὲ πάτραν Χαρίτων
Ἀρδονῖι καλλίσᾳ δρόσῳ.
Τόν τε Θεμισίυ ὀρθώ-
σανῖες οἶκον, τάνδε πόλιν
Θεοφιλῆ ναίυσι. Λάμπων δὲ, με-
λέταν
Ἔργοις ὀπάζων, Ἡσιόδυ
Μάλα τιμᾷ τῦτ' ἔπος,
Τιοῖσί τε φράζων παραινεῖ,

Ε. γ'. Κ. ια'.

Ξυνὸν ἄστει κόσμον ἐῷ προσάγων.
Καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται·
Μέτρα μὲν γνώμᾳ διώκων,
Μέτρα δὲ καὶ κατέχων·
Γλῶσσα δ' ὐκ ἔξω φρενῶν.
Φαίης κέ νιν ἄνδρ' ἐν ἀθλητᾶισιν ἔμμεν,
Ναξίαν πέτραις ἐν ἄλλαις,
Χαλκοδάμαντ' ἀκόναν. πίσω σφε Δίρκας.
Ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι

Χρυσοπέπλου Μναμοσύνας ἀνέ-
τειλαν παρ' εὐτειχέσι Κάδμου
πύλαις.

ἔιδος ζ'.

ΣΤΡΕΨΙΑΔΗι ΘΗΒΑΙΩι, ΠΑΓΚΡΑΤΙΩι.

Σ. α'. Κ. η'.

Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,
Καλῶν ἐπιχωρίων μάλισα θυμὸν τεὸν
Εὔρρανας; ἦ ῥα χαλκοχρότᾳ πάρεδρον
Δαμάτερος ἀνίκ' εὐρυχαίταν
Ἄντειλας Διόνυσον; ἢ
Χρυσῷ μεσονύκλιον

Νίφονλα δεξαμένα
Τὸν φέρταλον θεῶν,

Α. α'. Κ. η'.

Ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις
Σταθεὶς, ἄλοχον μεῖῆλθεν Ἡρακλείοις γοναῖς;
Ἢ ὅτ' ἀμφὶ Τειρεσίαο πυκιναῖς βυλαῖς;
Ἢ ὅτ' ἀμφ' Ἰόλαον ἱππόμηλιν;
Ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς
Ἄδρασον ἐξ ἀλαλᾶς
Ἀμπεμψας, ὀρφανὰν

Ε. α'. Κ. η'.

Μυρίων ἑτάρων, ἐς Ἄργος ἵππιον;
Ἢ Δωρίδ' ἀποικίαν νίκα ὀρθῷ
Ἔσασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων; ἔλον δ' Ἀμύ-
κλας
Αἰγεῖδαι σέθεν ἔκγονοι,
Μαντεύμασι Πυθίοις;
Ἀλλὰ παλαιὰ γὰρ εὖδει
Χάρις, ἀμνάμονες δὲ βροτοὶ.

Σ. ϛ'. Κ. η'.

Ὅ, τι μὴ σφίας ἄωτον ἄκρον

Καλλαῖς ἐπέων ῥοαῖσιν ἐξίκηται
ζυγὲν·
Κώμαζ' ἔπειτ' ἄρ' ἀδυμελεῖ σὺν
ὕμνῳ,
Καὶ Στρεψιάδᾳ. φέρει γὰρ Ἰσθ-
μοῖ
Νίκαν παγκρατίῳ, σθένει
Τ' ἔκπαγλος, ἰδεῖν τε μορ-
φάεις· ἄγει τ' ἀρετὰν
Οὐκ αἴσχιον φυᾶς.

Α. 6'. Κ. η'.

Φλέγεται δ' ἰοδοσρύχοισι Μοί-
σαις.
Μάτρωΐ θ' ὁμωνύμῳ δίδωκε καρ-
γὰν θάλος,

Χάλκασπις ᾧ πότμον μὲν Ἄρη
ἔμιξε·
Τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
Ἴσω γὰρ σαφὲς, ὅς τις ἐν
Ταύτᾳ νεφέλᾳ χάλα-
ζαν αἵματος πρὸς φίλας
Πάτρας ἀμύνεται,

Ε. Ϛ'. Κ. η'.

Λοιγὸν ἀμύνων ἐναντίῳ στραλῷ
Ἀστῶν, γενεᾷ μέγιστον κλέος αὔ-
ξων,
Ζώων τ' ἀπὸ θ' θανών.
Τὸ δὲ Διοδότοιο παῖ, μαχαλὰν
Αἰνείων Μελίαγρον, αἰ-

νέων δὲ χ' Ἕκτορα,
Ἀμφιάραόν τε, εὐαν-
θὲ' ἀπέπνευσας ἀλικίαν,

Σ. γ'. Κ. η'.

Προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄρι-
στοι
Ἔσχον πολέμοιο νεῖκος, ἐσχάταις ἐλπίσιν.
Ἔτλαν δὲ πένθος ὐφατόν. ἀλλὰ
νῦν μοι
Γαιάοχος εὐδίαν ὄπασσεν
Ἐκ χειμῶνος. ἀείσομαι,
Χαίταν σεφάνοισιν ἁρ-
μόζων. ὁ δ' ἀθανάτων

Μὴ θρασσέτω φθόνος,

Α. γ'. Κ. η'.

Ὅτι τερπνὸν ἐφάμερον διώκων,
Ἔκαλος ἐπεῖμι γῆρας, ἔς τε τὸν μόρσιμον
Αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες.
Δαίμων δ' ἄϊσος. τὰ μακρὰ δ' εἴ τις
Παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν
Ἕδραν· ὅτε πτερόεις
Ἐρῥίψε Πάγασος

Ε. γ'. Κ. η'.

Δεσπόταν ἐθέλονθ' ἑς ὐρανῦ σα-
θμὰς
Ἐλθεῖν μεθ' ὁμάγυριν Βελλερο-
φόνθαν
Ζηνός. τὸ δὲ πὰρ δίκαν
Γλυκὺ, πικροτάτα μένει τε-
λευθά.
Ἄμμιν δ' ὦ χρυσέα κόμα
Θάλλων πόρε Λοξία,
Τεαῖσιν ἀμίλλαισιν εὐαν-
θὲς χὴ Πυθοῖ στέφανον.

ᾨδος η'.

ΚΛΕΑΝΔΡΩι ΑΙΓΙΝΗΤΗι.

Δ. α'. Κ. χϛ'.

Κλεάνδρῳ τις ἁλικίᾳ τὲ λύ-
τρον
Εὔδοξον, ὦ νέοι, καμάτων,
Πατρὸς ἀγλαὸν Τελεσάρχυ
Παρὰ πρόθυρον ἰὼν, ἀγειρέτω
Κῶμον, Ἰσθμιάδος τε νίκας
Ἄποινα, χὠ Νεμέᾳ.
Ἀέθλων ὅτι κράτος
Ἐξεῦρε. τῷ χὲγὼ
Καίπερ ἀχνύμενος

Θυμὸν, αἰτέομαι
Χρυσέαν καλέσαι
Μοῖσαν. ἐκ μεγάλων
Δὲ πενθέων λυθέντες,
Μή τ' ἐν ὀρφανίᾳ πέσωμεν
Στεφάνων, μή τε κά-
δεα θεράπευε· παυ-
σάμενοι δ' ἀπρήκτων κακῶν,
Γλυκύ τι δαμωσόμεθα
Καὶ μελὰ πόνον. ἐπειδὴ
Τὸν ὑπὲρ κεφαλᾶς
Γε Ταντάλῳ λίθον παρά τις ἔ-
τρεψεν ἄμμι θεὸς,

Δ. 6'. Κ. χ6'.

Ἀτόλματον Ἑλλάδι μόχθον
ἀλλ' ἐ-
μοὶ δεῖμα μὲν παροιχομένων
Καρτερὰν ἔπαυσε μέριμναν.
Τὸ δὲ πρὸ ποδὸς, ἄρειον αἰεὶ,
Χρῆμα πᾶν. δόλιος γὰρ αἰὼν
Ἐπ' ἀνδράσι κρέμαται,
Ἑλίσσων βιότου πόρον.
Ἰατὰ δ' ἔστι βροτοῖς
Σύν γ' ἐλευθερίᾳ
Καὶ τά. χρὴ δ' ἀγαθὰν
Ἐλπίδ' ἀνδρὶ μέλειν.
Χρὴ δ' ἐν ἑπταπύλοι-

σι Θήβαις τραφέντα,
Αἰγίνᾳ χαρίτων ἄωτον
Προνέμειν πατρὸς ὑ-
νεκα δίδυμαι γένον-
το θυγατέρες, Ἀσωπίδων
Θ' ὁπλόταται, Ζηνί θ' ἁ-
δον βασιλῆϊ. ὃ τὰν μὲν
Παρὰ καλλιρόῳ
Δίρκᾳ, φιλαρμάτῳ πόλιος ὤ-
χισσεν ἀγεμόνα·

Δ. γ'. Κ. κϐ'.

Σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγ-
κὼν,
Κοιμᾶλο, δῖον ἔνθα τέκες

Αἰακὸν βαρυσφαράγῳ πα-
τρὶ κεδνόταλον ἐπιχθονίων· ὃ χ̣
Δαιμόνεσσι δίκας ἐπείραι-
νε. τᾶ μὲν ἀντίθεοι
Ἀρίστευον υἱέες,
Υἱέων τ' ἀρηΐφιλοι
Παῖδες, ἀνορέᾳ
Χάλκεον σθένε-
τ' ἀμφέπειν ὅμαδον·
Σώφρονές τ' ἐγένον-
το, πινυτοί τε θυμόν.
Ταῦτα χ̣ Μακάρων ἐμέμναν-
τ' ἀγοραὶ, Ζεὺς ὅτ' ἀμ-
φὶ Θέτιος, ἀγλαός
Τ' ἐρίσας Ποσειδᾶν γάμῳ,

Ἄλοχον εὐειδέα θέ-
λων ἑκάτερος ἐὰν ἔμ-
μεν'· ἔρως γὰρ ἔσχεν.
Ἀλλ' ὅ σφιν ἄμβροτοι τέλεσαν
εὐ-
νὰν θεῶν πραπίδες,

Δ. δ'. Κ. κβ'.

Ἐπεὶ θεσφάτων ἤκουσαν. εἶπε
Δ' εὐβουλος ἐν μέσοισι Θέμις,
Γίνεκεν πεπρωμένον ἦν, φέρ-
τερον γόνον ἄνακτα παλρὸς τεκῶν
Ποντίαν θεὸν, ὃς χερα υνῷ
Τε κρέσσον ἄλλο βέλος
Διώξει χειρὶ, τριό-

δονλός τ' ἀμαιμακέτᾳ,
Διΐ μισγομέναν,
Ἢ Διὸς παρ' ἀδελ-
φοῖσιν. ἀλλὰ τὰ μὲν
Παύσαλε. βροτέων
Δὲ λεχέων τυχοῦσα,
Τίὸν εἰσιδέτω θανόνθ' ἐν
Πολέμῳ, Ἄρεϊ
Χεῖρας ἐναλίγκιον,
Στεροπαῖσί τ' ἀκμὰν ποδῶν.
Τὸ μὲν ἐμὸν, Πηλεῖ θεό-
μοιρον ὀπάσαι γάμῳ Αἰ-
ακίδᾳ γέρας, ὃν
Τε εὐσεβέσαλόν φασ' Ἰαωλ-
κῷ τραπεῖν πεδίον.

Δ. ε'. Κ. χϚ'.

Ἰόνλων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς
Χείρωνος αὐτίκ' ἀγγελίαι.
Μὴ δὲ Νηρέως θυγάτηρ νεκέων πέταλα δὶς ἐγγυαλιζέτω
Ἄμμιν. ἐν διχομηνίδεσσι
Δὲ ἑσπέραις, ἐρατὸν
Λύοι κεν χαλινὸν ὑφ' ἥρωι παρθενίας.
Ὣς φάτο, Κρονίδαις
Ἐννέποισα θεά.
Τοὶ δ' ἐπὶ γλεφάροις
Νεῦσαν ἀθανάτοισιν. ἐπέων δὲ χαρπὸς

Οὐ κατέφθινε. φαντὶ γὰρ συν-
αλέγειν χ' γάμον
Θέτιος ἄνακτα· χ'
Νέαν ἀνέδειξαν σοφῶν
Στόματ' ἀπείροις ἀρε-
τὰν Ἀχιλλέος· ὃ χ' Μύ-
σιον ἀμπελόεν
Αἵμαξε, Τηλέφυ μέλανι βαί-
νων φόνῳ, πεδίον·

Δ. ς'. Κ. κϐ'.

Γεφύρωσέ τ' Ἀτρεΐδαισι νόσου·
Ἐλέναν τ' ἐλύσαλο, Τρωΐας
Ἴνας ἐκταμὼν δορὶ, ταί μιν
Ῥύονθ' ποτ' ἐκ μάχας ἐναρι-
μβρότᾳ

Ἔργον ἐν πεδίῳ κορύσσοντα, Μέμνονός τε βίαν
Ὑπέρθυμον, Ἕκτορά
Τ', ἄλλους τ' ἀρίστους· οἷς
Δῶμα Περσεφόνας
Μανύων Ἀχιλεύς,
Οὖρος Αἰακιδᾶν,
Αἴγιναν σφετέραν
Τε ῥίζαν πρόφαινε.
Τὸν μὲν ὅτε θανόντ' ἀοσσαὶ
Ἐλίποντ'· ἀλλά οἱ
Παρά τε πυρὰν τάφον
Θ' Ἑλικώνιαι παρθένοι
Ἔσαν, ἐπὶ θρῆνόν τε πολύραμον ἔχευαν. ἔδοξεν

Ἄρα δ' ἀθανάτοις,
Ἐσλόν γε φῶτα χὠ φθίμενον ὕ-
μνοις θεᾶν διδόμεν.

Δ. ζ'. Κ. χϚ'.

Τὸ χὴ νῦν φέρει λόγον. ἔσσυταί τε
Μοισαῖον ἅρμα Νικοκλέυς
Μνᾶμα πυγμάχυ κελαδῆσαι·
Γεραῖραι τέ μιν· ὃς Ἴσθμιον ἂν
ἀπὸ
Δωρίων ἔλαχε σελίνων·
Ἐπεὶ περικτύονας
Ἐνίκασε δήποτε
Κἀκεῖνος ἄνδρας ἀφύ-
κλῳ χερὶ κλονέων.

Τὸν μὲν ὐ κατελέγ-
χει κριτῦ γενεὰ
Πατραδελφεῦ. ἀ-
λίκων τῷ τὶς ἄβρὸν
Ἀμφὶ παγκραλίῳ Κλεάνδρῳ
Πλεκέτω μυρσίνας
Στέφανον. ἐπεί νιν Ἀλ-
καθόῳ τ' ἀγὼν σύν τύχᾳ,
Ἐν Ἐπιδαύρῳ τε νεό-
τας πρὶν ἔδεκλο· τὸν αἰνεῖν
Ἀγαθῷ παρέχει.
Ἦβαν γὰρ ὐκ ἄπειρον ὑπὸ χει-
ᾷ καλῶν δάμασεν.

ΤΕΛΟΣ.

BR.MUS.